# TEZAUR LITURGIC

**10 DECEMBRIE**

**HARALAMBOS BOUSIA**

# SLUJBA SF.MUCENICI MINA,ERMOGHEN ŞI EVGRAF DE LA ALEXANDRIA

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 10 ΔΕΚΕΜΒΡΙΟΣ ΕΡΜΟΓΕΝΗΣ ΜΑΡΤΥΣ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Πεπαιδευμένον εἰς γνῶσιν, σοφῶς τὴν θύραθεν, στεῤῥὸν τροπαιοφόρον, ἀθλητὴν τοῦ Ὑψίστου, Μηνᾶ Καλλικελάδου συναθλητῶν, ὑπ' αὐτοῦ τὸν γνωρίσαντα, τὸν Ποιητὴν πάσης κτίσεως καὶ Θεόν, Ἑρμογένην νῦν τιμήσωμεν.

Ἀλεξανδρείας τὴν χθόνα κατεπορφύρωσας, αἱμάτων σου τοῖς ὄμβροις, δι᾽ ἀγάπην Κυρίου, Ἑρμόγενες Εὐγράφου τοῦ θαυμαστοῦ, καὶ Μηνᾶ τοῦ ἀλκίφρονος, Καλλικελάδου τοῦ θείου συναθλητά, καὶ τῆς δόξης ἰσοστάσιε.

Τῆς σωφροσύνης τὸ κέρας καὶ ἀγαθότητος, τὴν τηλαυγῆ λυχνίαν, Ἀθηνῶν θεῖον γόνον, καὶ γέρας Ἐκκλησίας περικλεές, Ἑρμογένην τιμήσωμεν, καὶ τὰς τιμίας βασάνους διὰ Χριστόν, τὰς αὐτοῦ νῦν μεγαλύνωμεν.

Τὸν ὑπομείναντα πόνους στεῤῥᾶς ἀθλήσεως, καὶ παῤῥησίᾳ κλῆσιν, τοῦ Χριστοῦ τὴν ἁγίαν, κηρύξαντα οἱ δῆμοι τῶν εὐσεβῶν, Ἑρμογένην τιμήσωμεν, σὺν τῷ

Μηνᾷ πρὸς εὐσέβειαν οὗ ἰσχύς, τῆς ψυχῆς αὐτὸν προσείλκυσε.

*Δόξα. Ἦχος β΄.*

Τὸν ἐξ Ἀθηνῶν ὁρμώμενον Ἀλεξανδρείας ἔπαρχον, εἰδώλων τὸν πρὶν ὑπέρμαχον καὶ εἶτα καθαιρέτην, Ἑρμογένην τὸν καλλίνικον μάρτυρα, ὕμνοις τιμήσωμεν· ὁμόζηλος γὰρ γενόμενος τῶν παθημάτων, τοῦ ὑπ᾽ αὐτοῦ κακοπαθήσαντος Μηνᾶ τοῦ Καλλικελάδου, σὺν αὐτῷ ἐν δόμοις οὐρανίοις ἠξιώθη ἀγγέλοις συναγάλλεσθαι· Χριστὸν οὖν τὸν στεφοδότην θεώμενος καὶ ἀγγέλοις συγχορεύων καὶ συναγαλλόμενος ἐκτενῶς πρεσβεύει ὑπὲρ τῶν στεφόντων αὐτὸν ὑμνῶν τοῖς ἄνθεσι.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε χοροὶ πιστῶν, τὴν μνήμην Ἑρμογένους, τοῦ ἐν Ἀλεξανδρείᾳ, ἀθλήσαντος γενναίως, λαμπρῶς ἐγκωμιάσωμεν.

Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Βλάστημα ἐκλεκτόν, τῶν Ἀθηνῶν καὶ ἴον, Χριστοῦ τῆς Ἐκκλησίας, μυρίπνοον ἐκθύμως, νῦν Ἑρμογένην μέλψωμεν.

Στίχος. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν Κύριος.*

Ἤθλησας εὐσθενῶς, σὺν τῷ Καλλικελάδῳ, Μηνᾶ τῷ Ἀθηναίῳ, καὶ τῷ Εὐγράφῳ Μάρτυς, Ἑρμόγενες ὡς ἄϋλος.

*Δόξα. Τριαδικόν.*

Χαῖρε Τριὰς σεπτή, ἡ δοξασθεῖσα πόνοις, τοῦ Σοῦ στεῤῥοῦ ὁπλίτου, ἐνδόξου Ἑρμογένους, πανευλαβῶς κραυγάζομεν.

*Καὶ νῦν. Θεοτοκίον.*

Κλέος τῶν ἀθλητῶν, ὑπάρχεις Θεοτόκε, καὶ σέμνωμα Μαρτύρων, τῶν ἐν σταδίῳ Τόκον, μεγαλυνάντων θεῖόν σου.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Γεραρὸν Ἑρμογένην ἀνευφημήσωμεν, τὸν ἀριστέα σταδίου, σὺν τῷ Εὐγράφῳ λαμπρῶς, καὶ Μηνᾷ Καλλικελάδῳ, πορφυρώσαντα τὴν Ἀλεξάνδρειαν ῥοαῖς τῶν αἱμάτων δεῦτε νῦν, χορεῖαι φιλομαρτύρων, αὐτοῦ λιτὰς τὰς ἀόκνους πρὸς τὸν Θεάνθρωπον αἰτούμενοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

# ΕΝ ΤΩ͂ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Μετὰ τὸν Προοιμιακόν, τὸ *Μακάριος ἀνήρ,* εἰς δὲ τὸ *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια· Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἑρμογένην τὸν πάνσοφον, ἀθλητὴν ὅνπερ εἵλκυσε, πρὸς Χριστοῦ τὴν πίστιν Μηνᾶς ὁ ἔνδοξος, ὁ θεαυγὴς Καλλικέλαδος, καὶ οὗ ἠκολούθησε, τρίβῳ τῇ μαρτυρικῇ, γεγηθότες ὑμνήσωμεν ἀνακράζοντες· χαῖρε στῦλε στεῤῥὲ τῆς Ἐκκλησίας, χαῖρε πρόβολε ἀνδρείας, καὶ ἀριστείας ἐκτύπωμα.

Μαξιμῖνον κατῄσχυνας, σὲ τὸν δείξαντα ἔξαρχον, τῆς Ἀλεξανδρείας Χριστοῦ τὸ ποίμνιον, ἵνα σκορπίσῃς καὶ σέβοντας, στηρίξῃς τὰ εἴδωλα, καλλινίκων ἀθλητῶν, ὡραιότης Ἑρμόγενες· ὅθεν ἅπαντες, εὐσεβείας ὡς σάλπιγγα τιμῶμεν, καὶ ψαλτήριον σὲ τόλμης, καὶ εὐψυχίας καλλίχορδον.

Ἀθηνῶν τὸ περίδοξον, καὶ πανεύοσμον βλάστημα, ἐν Ἀλεξανδρείᾳ πολύχουν ἄσταχυν, τὸ ἐξανθῆσαν τιμήσωμεν, ἀνδρείας χρηστότητος, καὶ εὐψύχου ἀγωγῆς, ἐν σταδίῳ κραυγάζοντες· Μάρτυς ἄριστε, σὺν Μηνᾷ τῷ σεπτῷ Καλλικελάδῳ, καὶ Εὐγράφῳ ὁ ἀθλήσας, στεφάνους δόξης ἀπείληφας.

Τὴν καλήν σου ἀλλοίωσιν, καὶ τὴν χάριν τοῦ Πνεύματος, τὴν ἐν σοὶ οἰκοῦσαν, σοφὲ Ἑρμόγενες, ἰδόντες οἱ παριστάμενοι, Ἐπίσκοποι ἄριστε, τρεῖς καὶ δέκα ἀληθῶς, ἐν ἀγῶσι τοῖς θείοις σου προεχείρισαν,

σὲ Χριστοῦ ἀρχιθύτην Ἐκκλησίας, τὸν ἐχέφρονα καὶ πρᾷον, καὶ ταπεινὸν καὶ στεῤῥόψυχον.

Μίαν ποίμνην ἀπήλαυσας, ὅλην τὴν Ἀλεξάνδρειαν, ἧς Ποιμὴν ὑπῆρχε μόνον ὁ Κύριος, ἐν ταῖς ἡμέραις Ἑρμόγενες, ἀρχιερωσύνης σου, τὰς ὀλίγας, ἀθλητά, ἐν οἷς πάντας ἐδίδασκες θεοσέβειαν, σωφροσύνην πρᾳότητα ἀγάπην, ταπεινοφροσύνην ἄκραν, ἁγνείαν καὶ χρηστοήθειαν.

Θησαυρὸν ὡς πολύολβον, τὸ σὸν πάντιμον σκήνωμα, πλεῦσαν ἐφ' ὑδάτων εἰς Βασιλεύουσαν, ξένως παρέλαβεν ἄλκιμε, ὁ θεῖος Ἑρμόγενες, Πατριάρχης σὺν χορῷ, εὐσεβῶν φέγγος ἄῤῥητον, ἀθλοφόρητε, Μάρτυς πίστεως περιηυγασμένον, καὶ ὑπὸ δυάδος θείων, Ἀγγέλων συνοδευόμενον.

*Δόξα. Ἦχος πλ. β΄.*

Τὸν φωτοειδῆ καὶ παμφαέστατον ἀθλητῶν ἀστέρα, τὸν κήρυκα τῆς εὐσεβείας καὶ ἱερομύστην τῆς χάριτος, Ἑρμογένην τὸν ἀλκίφρονα συνδραμόντες φιλομάρτυρες, μαρτυρικοῖς ἐγκωμίοις ὑμνήσωμεν κράζοντες· χαίροις ὁ τῶν Ἀθηνῶν πυρσός, καὶ τῆς Ἀλεξανδρείας φάρος ἀείφωτος· χαίροις Μηνᾶ τῶν ἄθλων ὁμότροπε, καὶ κλεινοῦ Εὐγράφου τῆς παῤῥησίας ὁμόζηλε· χαίροις τῶν ἀριστέων σταδίου κοσμιότης, καὶ ἱεραρχῶν θεοφρόνων σεμνολόγημα· καὶ νῦν χαρᾶς μετέχων τῆς ἀϊδίου, καὶ κληρονόμος ὑπάρχων τῆς τῶν οὐρανῶν Βασιλείας, δυσώπει Χριστὸν τὸν Θεὸν ὑπὲρ τῶν πίστει, τὴν ἱερὰν καὶ χαρμόσυνον ἐκτελούντων μνήμην σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε· ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός, ὅνπερ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς. Πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς

ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο

λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ Ἀλεξανδρείας ἡ πόλις, καὶ πᾶσα φιλομαρτύρων ἡ ὁμήγυρις, τιμῶντες τὴν μνήμην, τοῦ μεγαλομάρτυρος ἱεράρχου Ἑρμογένους· οὗτος γὰρ τῆς εὐσεβείας ἐκφαίνων τὰς χάριτας, καὶ

Μηνᾶ τοῦ Καλλικελάδου τῶν ἄθλων πέλων ὁμόζηλος, εἰδωλολατρῶν καθεῖλεν ὀφρὺν τὴν ἐπηρμένην, τῇ συμμαχίᾳ τοῦ ἀναπληροῦντος τὰς ἀσθενείας, Παναγίου Πνεύματος· καὶ νῦν Χριστῷ παριστάμενος, μὴ παύσῃ ἐφορῶν καὶ σκέπων, τοὺς εὐφημοῦντας τοὺς ἄθλους σου, καὶ γεραίροντας τὴν ἁγίαν μνήμην σου.

*Ἦχος β΄.*

Μαρτυρικὴν ἐπιδειξάμενος ἀνδρείαν ἄῤῥητον, εἰδωλικὴν ἐξεφαύλισας μανίαν, ἐξ ἧς θείᾳ χάριτι ἀπηλευθερώθης, Ἑρμόγενες θεομακάριστε· σὺ γὰρ θαυμάσας Μηνᾶ τοῦ Καλλικελάδου παῤῥησίαν, εἰδώλων πλάνης διέλυσας ζόφωσιν, καὶ πρὸς φῶς τῆς εὐσεβείας ἐχώρησας· εὐθαρσῶς οὖν ἀθλήσας, καὶ ὑπομείνας πολυώδυνα βάσανα, συμμέτοχος χαρᾶς τοῦ Κυρίου γέγονας, καὶ πρεσβευτὴς πρὸς Αὐτὸν ἡμῶν θερμότατος.

*Ἦχος γ΄.*

Τῇ σῇ ἄνωθεν δοθείσῃ σοφίᾳ καὶ ψυχῆς στεῤῥότητι κατηγωνίσω, τοὺς εἰδωλόφρονας Ἑρμόγενες μεγάλαθλε· πειθόμενος γὰρ Καλλικελάδου τοῖς ῥήμασι, καὶ τὴν αὐτοῦ θαυμάζων παῤῥησίαν, ἀνενδότῳ φρονήσει προσεχώρησας πρὸς τὸ μαρτύριον· ὅθεν πάντες ἀγαλλιώμενοι τῇ σῇ εὐψυχίᾳ, καὶ προβάλλοντές σε μεσίτην ἡμῶν πρὸς Κύριον, τὰς πρὸς Αὐτὸν πρεσβείας σου ἐκδεχόμεθα.

*Δόξα. Ἦχος δ΄.*

Πεπαῤῥησιασμένῃ ὁμολογίᾳ καὶ ἀθλητικῷ παραστήματι, Χριστὸν τὸν Θεὸν ἡμῶν ὁμολογήσας,

καταφρονήσας ὡς λίθους τὰ ἄψυχα εἴδωλα, ἱερομάρτυς Ἑρμόγενες παναοίδιμε· ὅθεν ὁ Κύριος τῆς δόξης, ὡς δοξασθεὶς τῇ ἀηττήτῳ ἀθλήσει σου, περιφανῶς σε ἐδόξασε, καὶ ταχινὸν ἡμῶν προστάτην σὲ ἀνέδειξε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Στιχηρὰ Ἀπόστιχα. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.*

Χαίροις Καλλικελάδου Μηνᾶ, καὶ τοῦ Εὐγράφου τοῦ ἐνδόξου συνόμιλε, ὁμότροπε τῶν ἀγώνων, καὶ τῆς χαρᾶς οὐρανῶν, σύσκηνε στεῤῥόφρον ἱερόαθλε, τρισμάκαρ Ἑρμόγενες, ὁ σκεδάσας τὴν ζόφωσιν, χάριτι θείᾳ τῶν εἰδώλων καὶ πάμφωτον, ἦμαρ ἅπασιν, ἀνατείλας τῆς πίστεως, τοῦ Φωτοδότου Κτίσαντος, Οὗ κλῆσιν τὴν πάνσεπτον, καθωμολόγησας χαίρων, ἐν τῷ σταδίῳ πρὸ βήματος, στυγνοῦ Μαξιμίνου, τοῦ πικρῶς κολάσαντός σε, καὶ θανατώσαντος.

Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις μεγαλομάρτυς Χριστοῦ, Ἀτθίδος γόνε καὶ περίδοξον βλάστημα, μαρτύρων Ἀλεξανδρείας, ἡ ἱερὰ καλλονή, καὶ εἰδωλοφρόνων ἡ κατάπτωσις, Ἑρμόγενες ἄλκιμε, ἱεράρχα θειότατε, Καλλικελάδου, τοῦ Μηνᾶ ὁ τὰ σκάμματα, καὶ στεῤῥότητα, τῆς ψυχῆς μιμησάμενος· νίκης γὰρ χρυσοστόλιστον,

δρεψάμενος στέφανον, παρὰ Κυρίου ἀξίως, τὰ γέρα νέμοντος ἅπασιν, ἀπογεγραμμένων, ἐν Ἐδὲμ συνηριθμήθης, χοροῖς θεσπέσιε.

Στίχος. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις ἱερομάρτυς σεπτέ, Ἀλεξανδρείας πρὶν τῆς πόλεως ἔπαρχος, εἰδώλων ὡς ὑπηρέτης, καὶ εἶτα θεῖος αὐτῆς, Ἱεράρχης μάκαρ ἐνθεώτατος, ὡς Κτίστου ἀκόλουθος, καὶ διδάσκαλος πάνσοφος, τῆς εὐσεβείας, ἀθλοφόρε Ἑρμόγενες, ὁ κατώδυνον, ὑπομείνας ὡς ἄσαρκος, βάσανον· ὅθεν μνήμην σου, τὴν θείαν καὶ πάντιμον, ἐν ψυχικῇ εὐφροσύνῃ, πανηγυρίζοντες σήμερον, ἐκθύμως βοῶμεν· χαῖρε μάρτυς τροπαιοῦχε, Χριστοῦ τῆς πίστεως.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δεῦτε φιλέορτοι πάντες, ᾆσμα ᾄσωμεν μελίῤῥυτον, τῷ στεῤῥῷ Χριστοῦ ἀθλοφόρῳ, Ἑρμογένει τῷ ἀλκίφρονι· μαρτυρικῶς γὰρ ἀγωνισάμενος, καὶ τρόπους Μηνᾶ τοῦ Καλλικελάδου μιμησάμενος, εὐθαρσῶς ὡμολόγησε τοῦ Κυρίου τὸ ὄνομα· καὶ νῦν ἀγαλλιάσεως ἀπολαύων ἀδιαλείπτου, σὺν τοῖς αὐτοῦ συνάθλοις καὶ δήμοις ἀγγέλων, Χριστῷ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Προεόρτιον.*

Βηθλεὲμ ἑτοιμάζου· εὐτρεπιζέσθω ἡ φάτνη· τὸ Σπήλαιον δεχέσθω, ἡ ἀλήθεια ἦλθεν· ἡ σκιὰ παρέδραμε· καὶ Θεὸς ἀνθρώποις, ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ' ἡμᾶς, καὶ θεώσας τὸ

πρόσλημμα. Διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ, κράζοντες· Ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Γεραρὸν Ἑρμογένην ἀνευφημήσωμεν, τὸν ἀριστέα σταδίου, σὺν τῷ Εὐγράφῳ λαμπρῶς, καὶ Μηνᾷ Καλλικελάδῳ, πορφυρώσαντα τὴν Ἀλεξάνδρειαν ῥοαῖς τῶν αἱμάτων δεῦτε νῦν, χορεῖαι φιλομαρτύρων, αὐτοῦ λιτὰς τὰς ἀόκνους πρὸς τὸν Θεάνθρωπον αἰτούμενοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

## ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὴν α΄ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.*

Ὡς μέγας ἀριστεύς, τοῦ σταδίου καὶ Μάρτυς, ἀήττητος Χριστοῦ, ἠκολούθησας χαίρων , Μηνᾶ θείοις βήμασι, καρτερόφρον Ἑρμόγενες, καὶ κατῄσχυνας, εἰδώλων πλάνης τοὺς λάτρας· ὅθεν μνήμην σου, τὴν φωτοφόρον τιμῶντες, σὲ πίστει γεραίρομεν.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Ἀνέπλασας ἡμῶν, τὴν μερόπειον φύσιν, κυήσασα Χριστόν, ἐν ἰσχύϊ δυνάστην, εἰς τέλος συντρίψαντα καὶ ἀνθρώποις βραβεύσαντα, ἀπολύτρωσιν, Θεογεννῆτορ Παρθένε, θεοκόσμητε, ναὲ καὶ μέλαθρον θεῖον, Θεοῦ τοῦ Παντάνακτος.

*Μετὰ τὴν β΄ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Βασάνους ὑπέμεινας, ὀδυνηρὰς ἀθλητά, ὡς ἄσαρκος ἄριστε, ἀρχιερέων εἰκών, εὐψύχων Ἑρμόγενες· ὅθεν σὴν θείαν μνήμην, ἑορτάζοντες πόθῳ, κράζομεν· καλλιμάρτυς, στῦλε Ἀλεξανδρείας, φωτόλαμπρε τὸν ζόφον ἡμῶν, δίωξον θλίψεων.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ ἔμψυχος θάλαμος, ἡ κιβωτὸς τοῦ Θεοῦ, ἡ ἄγαν πολύτιμος, ἐν ᾗ Αὐτοῦ τὰ σεπτά, καὶ ξένα μυστήρια, Δέσποινα Θεοτόκε, ἐκτετέλεσται τρόπῳ, ὄντως ἀκαταπλήκτῳ, ἀνυμνείσθω ἐκθύμως, ἡ μόνη βασιλὶς τοῦ παντός, καὶ ἀειπάρθενος.

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Μηνᾶ ὁμότροπος, ἐν τοῖς παλαίσμασι, λαμπρᾷ ἐνστάσει σου, ὤφθης Ἑρμόγενες, εἰδώλων πλάνης τῶν λατρῶν ὁ ἄριστος καθαιρέτης· Ὅθεν πάντες σέβοντες, σὴν τιμίαν ἐνάθλησιν, κράζομεν· μεγάλαθλε

στεφηφόρε ἱκέτευε, Χριστὸν ὑπὲρ τῶν πίστει τιμώντων, μνήμην τὴν ἀεισέβαστόν σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε Μαριὰμ ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στίχος: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ιε΄17-ιστ 2 ): *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν...*Ὅρα το εἰς τὴν Λειτουργίαν τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου πρεσβείαις...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Σήμερον ὁ ἱερομάρτυς Ἑρμογένης, τῶν Ἀθηνῶν τὸ περίβλεπτον καύχημα, ἐν σταδίῳ ἐχθρὸν εἰδωλόφρονα ἐθριάμβευσε, καὶ τὸν διὰ ξίφους φρικτὸν ἐδέξατο θάνατον· Ἄγγελοι ἐν πόλῳ δόξης τοὺς ἄθλους αὐτοῦ ὑμνοῦσι, καὶ φιλομάρτυρες ἐν γῇ τὰς χεῖρας ἐν

εὐφροσύνῃ κροτοῦσι, μεγαλοφώνως κράζοντες· ἱερομάρτυς πανσεβάσμιε πρέσβευε δεόμεθα, σωθῆναι τὰς ψυχὰς τῶν στεφόντων σε ᾄσμασι.

Εἶτα ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· *Ἑρμογένους αἶνος, τοῦ ἀθλητοῦ Κυρίου. Χ.*

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἑρμόγενες ἔνδοξε, μεγαλομάρτυς πολύαθλε, Χριστοῦ ὁ τὸ ὄνομα ὁμολογήσας τρανῶς, καὶ τὸ φρύαγμα, πατήσας Μαξιμίνου, τὸ ἄνομον ἄθλων σου, πόνοις δεδόξασαι.

Ῥανίσιν αἱμάτων σου, σεπτῶν Ἑρμόγενες ἔχρωσας, καλλίνικε ἔπαρχε, Ἀλεξανδρείας ὁδούς, ἧς ὁμήγυριν, κατηύφρανας σῷ σθένει, χριστώνυμον πάνσοφε, Μάρτυς μεγάλαθλε.

Μηνᾶ ἠκολούθησας, Καλλικελάδου τοῖς βήμασιν, ὃν πρότερον ἔκρινας διὰ τὴν πίστιν Χριστοῦ, καὶ ὑπέβαλες, εἰς πόνους μαρτυρίου, ὡς ἄρχων σεβόμενος, λίθους Ἑρμόγενες.

*Θεοτοκίον.*

Οὐράνωσον φρόνημα, Θεογεννήτρια Δέσποινα, τῶν μακαριζόντων σε εἰς τοὺς αἰῶνας λαμπρῶς, ταῖς δεήσεσι, τοῦ θείου Ἑρμογένους, τοῦ ἄθλοις δοξάσαντος, Τόκον τὸν θεῖόν σου.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Γαλήνης τὸν αἴτιον, δυσώπει ὑπὲρ τῶν ὑμνούντων ἐκτενῶς, Ἑρμόγενες τοὺς ἄθλους σου, οὓς στεῤῥοψύχως ἤνεγκας, διὰ τὴν παναμώμητον, πίστιν Χριστοῦ τοῦ Παντάνακτος.

Ἐπάρχου Ἀλεξανδρείας θῶκον, λαβὼν ἐβασάνισας Μηνᾶν, τὸν θεῖον Καλλικέλαδον, κηρύττοντα εὐσέβειαν, Ἑρμόγενες Οὗ δύναμιν, ψυχῆς καὶ τόλμην ἐζήλωσας.

Νοήσας ἀπάτην τῶν εἰδώλων, ὡς ὄντως ἐχέφρων καὶ σοφός, τὴν πίστιν ὡμολόγησας, Ἑρμόγενες τοῦ Κτίσαντος, καὶ στάδιον εἰσέδραμες, θεοπρεπῶς τῆς ἀθλήσεως.

*Θεοτοκίον.*

Ὁδήγει βροτοὺς πρὸς σωτηρίαν, ἰθύντειρα ὥσπερ ἀπλανής, τοὺς ἀνυμνολογοῦντάς σε, Κυρία Μητροπάρθενε, καὶ πόθῳ καταφεύγοντας, τῇ ἀκλινεῖ ἀντιλήψει σου.

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Ἱερόαθλε μεγαλομάρτυς, τῶν ἀγώνων σου τὰς ἀριστείας, μεγαλύνοντες πιστῶς ἀνακράζομεν· Ἀλεξανδρείας φανὲ καὶ ὁμότροπε, Καλλικελάδου Μηνᾶ τοῦ παμμάκαρος, καταξίωσον, ἡμᾶς τῆς χαρᾶς τῆς κρείττονος, Ἑρμόγενες τοὺς μέλποντας τοὺς ἄθλους σου.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν ἀσώματον, σωματωθέντα, μόνον Κύριον, ἐκ σοῦ ἀφράστως, δίχα πάναγνε τροπῆς καθικέτευε, ὑπὲρ ἡμῶν πόθῳ μεγαλυνόντων σε, τῶν λυτρωθέντων κυήσει τῇ θείᾳ σου, τῆς προμήτορος ἀρᾶς καὶ θανάτου Δέσποινα, ἀλήκτου δυσωποῦμέν σε ἀείποτε.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Ὑμνῳδίαις στέφομέν σε, τὸν γενναίου φρονήματος ὄντα πεπλησμένον, καὶ ὀδύνας καθυπομείναντα, πικρὰς βασάνων Ἑρμόγενες τρισόλβιε, καὶ ἀπότμησιν τῆς κεφαλῆς τῆς τιμίας σου.

Σωφροσύνης ὑφηγῆτορ καὶ ἁγνείας διδάσκαλε, τιμαλφῆ σου πάντα πένησι  διένειμας πρώταθλε, σταδίου μάκαρ Ἑρμόγενες, καὶ ἔχρωσας, σοῦ τοῖς αἵμασι, στολὴν ἀρχιερωσύνης σου.

Ἀθλοφόρε καρτερόφρον ἠκολούθησας βήμασι, τοῦ Καλλικελάδου ἐν σταδίῳ Μάρτυς Ἑρμόγενες, καὶ τοὺς ἀγγέλους κατεῖδες θεραπεύοντα, σοῦ τὰ τραύματα, καὶ τὰς οὐλὰς τῆς ἀθλήσεως.

*Θεοτοκίον.*

Ἴθυνόν με πρὸς λειμῶνας ἀϊδίου τερπνότητος, Κεχαριτωμένη, Μῆτερ τοῦ Θεοῦ, τὸν ὑμνοῦντά σε, καὶ τοὺς σεπτοὺς Ἑρμογένους πόνους μέλποντα, δι’ εὐσέβειαν, καὶ δόξαν Τόκου τοῦ θείου σου.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Νικήσας τὰ εἴδωλα, τὸν σέβοντα ἀθλήσει σου, πλάνον Μαξιμῖνον καλλιμάρτυς, ἐδέξω στέφος ἐκ τῶν χειρῶν τοῦ Χριστοῦ, Ἑρμόγενες καὶ σὺν τῷ Μηνᾷ, καὶ Εὐγράφῳ ἔτυχες, εὐφροσύνης ἀτέρμονος.

Ὁμότροπος πέφηνας, ἐνστάσει στεῤῥοψύχῳ σου, ἐν ἀγῶσι τοῦ Καλλικελάδου, ἑλκύσαντός σε πρὸς πίστιν τοῦ Λυτρωτοῦ, Ἑρμόγενες· ἔνθεν καὶ αὐτοῦ δόξης ἰσοστάσιος, ἐν Ἐδὲμ κήποις γέγονας.

Σὲ κλέος ὡς πίστεως, καὶ ἀθλητῶν ἀκρώρειαν, πόθῳ μεγαλύνομεν οἱ δῆμοι τῶν χριστωνύμων, περικλεὲς ἀθλητά, Ἑρμόγενες κλῆσιν τοῦ Θεοῦ, τὸν ὁμολογήσαντα ἀπτοήτῳ φρονήματι.

*Θεοτοκίον.*

Τρυφῆς ἀπολαύσεως, τῆς αἰωνίου πρόξενος, πέλεις εὐσεβῶν Θεογεννῆτορ· διό σε πάντες, οἱ ἐν τοῦ βίου δεινοῖς, στενάζοντες σπεύδομεν ταῖς σαῖς, ἱκεσίαις Δέσποινα, πρὸς Ὃν ξένως ἐκύησας.

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ὁ τοῦ Μηνᾶ ἰσοστάσιος, τῆς δόξης καὶ τῶν πόνων ἐφάμιλλος, ἀνευφημείσθω μοι, ὁ Ἑρμογένης ὁ ἄριστος, τῶν τῆς Ἀλεξανδρείας, μαρτύρων καύχημα.

Ἀπὸ τῆς ἄνωθεν χάριτος, ῥωννύμενος Ἑρμόγενες ἔνδοξε, γενναίως ἤνεγκας, μελῶν σου τμῆσιν ὡς ἄσαρκος, καὶ αἵματός σου Μάρτυς, τιμίου ἔκχυσιν.

Ἀθῆναι νῦν ἐπαγάλλονται, σπαργάνοις σου τοῖς θείοις Ἑρμόγενες, καὶ Ἀλεξάνδρεια, τῇ σῇ ἀνδρείᾳ καὶ

ἄθλοις σου, δι᾽ ὧν τὴν πίστιν Μάρτυς, Χριστοῦ ἐτράνωσας.

*Θεοτοκίον.*

Θεοῦ ναὸς ἀχειρότευκτος, ὑπάρχουσα Παρθένε θεόνυμφε, ναοὺς σεμνότητος, τοὺς σοὺς οἰκέτας ἀνάδειξον, ἀεὶ δοξολογοῦντας τὸν θεῖον Τόκον σου.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὸν παῤῥησίᾳ Ἰησοῦν ὁμολογήσαντα, καὶ τοῦ Μηνᾶ μαρτυρικοῖς ἀκολουθήσαντα, ἐν Ἀλεξάνδρειᾳ τρίβοις ἀξιόχρεως, ἀγαθὸν σεμνὸν ἐχέφρονα καὶ εὔψυχον, ἀθλητὴν τῆς εὐσεβείας ἀνυμνήσωμεν, πόθῳ κράζοντες· Χαίροις μάρτυς Ἑρμόγενες.

*Ὁ Οἶκος.*

Ἄριστος ἀθλοφόρος, εὐσεβείας κοσμήτωρ, Ἑρμόγενες καὶ κῆρυξ ἐδείχθης, Ἀθηνῶν γόνε περικλεές, καὶ Ἀλεξανδρείας ἱερὸν καύχημα· διό σε μακαρίζοντες, πιστῶς σοι ἐκβοῶμεν πάντες·

Χαῖρε, σεπτὸς ἀριστείας πύργος·
χαῖρε, λαμπρὸς Ἐκκλησίας φάρος.
Χαῖρε, Ἀθηνῶν ἱερὸν σεμνολόγημα·
χαῖρε, εὐσθενῶν ἀθλοφόρων ὑπόδειγμα.
Χαῖρε, ὅτι ἠκολούθησας τῷ Μηνᾷ ἐν τοῖς δεινοῖς·
χαῖρε, ὅτι χάριν εἴληφας θεραπεύειν ἀσθενεῖς.
Χαῖρε, ὁ τῶν εἰδώλων τὴν ἀπάτην πατήσας·
χαῖρε, ὁ τῶν Μαρτύρων τοὺς χοροὺς ἀγλαΐσας.
Χαῖρε, κρατὴρ ἀρίστης ἀθλήσεως·

χαῖρε, φωστὴρ λαμπρὸς γενναιότητος.
Χαῖρε, Χριστοῦ ὁ εὐφράνας χορείας·
χαῖρε, ἐχθροῦ ὁ πατήσας παγίδας·
Χαίροις, Μάρτυς Ἑρμόγενες.

*Συναξάριον.*

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Ἑρμογένους τοῦ Ἀθηναίου, τοῦ ἐν Ἀλεξανδρείᾳ, σὺν Μηνᾷ τῷ Καλλικελάδῳ, καὶ Εὐγράφῳ ἐναθλήσαντος.

*Μηνᾶ μάρτυρος ἀκολουθήσας τρίβοις*
*σὺν αὐτῷ, Ἑρμόγενες, ἤθλησας χαίρων.*
*Τμηθεὶς ὁ Μηνᾶς, κἂν κελαδεῖν οὐκ ἔχῃ,*
*Φιμοῖ κελαδοῦν δυσσεβείας τὸ στόμα.*
*Τὴν δυσσέβειαν ἐκπτύσας Ἑρμογένης,*
*ὑπῆρξε Μάρτυς εὐσεβείας ἐκ ξίφους.*
*Τὰς ἐκ μαχαίρας, Εὔγραφε, τρώσεις φέρων,*
*ὀξὺς Θεοῦ κάλαμος ὤφθης εὖ γράφων.*
*Εὐκέλαδος δεκάτῃ Μηνᾶς ξίφει αὐχένα δῶκεν.*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Λαμπρυνόμενος, τῆς σῆς ψυχῆς στεῤῥότητι, σοφὲ Ἑρμόγενες, τὴν φλόγα ἣν ὁ Μηνᾶς, σοὶ ἤναψεν ἔφερες, ὡς θεῖον τρόπαιον, καὶ κατηύγασας, Ἀλεξανδρείας ποίμνιον, δι’ αὐτῆς Ἱερομάρτυς.

Τοῦ Πνεύματος, τοῦ Παρακλήτου δύναμις, ἐπισκιάζουσά σε, ἱεράρχα σεπτέ, Μαρτύρων ἀνέδειξε

γενναίων ἔκτυπον, καὶ ὑπόδειγμα, περίλαμπρον Ἑρμόγενες, ἀθλητῶν καρτεροψύχων.

Τεῖχος ἄῤῥηκτον, σοφίας καὶ συνέσεως, ταχὺ κατέλιπες, εἰδώλων τῶν μιαρῶν, τὴν πλάνην ὡς δύναμιν, ψυχῆς ἑώρακας, τοῦ θεόφρονος, Μηνᾶ οὗ ἠκολούθησας, ταῖς ὁδοῖς ἐν τοῖς βασάνοις.

*Θεοτοκίον.*

Ὄλβον ἔνθεον, πλουτοῦμεν τὰς πρεσβείας σου, Θεογεννήτρια, πρὸς τὸν σεπτόν σου Υἱόν, Ὃν πίστει δοξάζοντες, σὲ μεγαλύνομεν, ὡς διάσωσμα, πιστῶν καὶ ἀπολύτρωσιν, ἐξ ἀρᾶς τῶν προπατόρων.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ὕφαλον ἐχθρόν ᾧ ὑπηρέτεις, κατέβαλες ἀλλοιώσει τῇ ἁγίᾳ σου, ἀθλητὰ Ἑρμόγενες, ὡς τοὺς λόγους ἤκουσας, Μηνᾶ καὶ σθένος πίστεως, ἐν τοῖς παλαίσμασι, κατεῖδες τὸ αὐτοῦ γενναιόφρον, τῆς Ἀλεξανδρείας, περιφανὲς κοσμῆτορ.

Κῆρυξ διαπρύσιος ὡράθης, Ἑρμόγενες εὐσεβείας καὶ σεμνότητος, καὶ ποιμὴν θεόκλητος, ἀναλίσκων πλοῦτόν σου, ψυχῆς τοῖς χρείαν ἔχουσι, πτωχοῖς καὶ κάμνουσι· διό σου τὴν ὑπέρφωτον μνήμην, ἀνυμνολογοῦμεν, εὐτάκτοις μελῳδίαις.

Ὕμνοις σε τιμῶντες καθηκόντως, Ἑρμόγενες ἱερόαθλε περίδοξε, στέφομέν σε ᾄσμασι, καὶ ᾠδαῖς εὐσχήμοσι, τὸν καθελόντα εἴδωλα, καὶ μεγαλύναντα, τὴν πίστιν τοῦ Χριστοῦ τὴν ἁγίαν, ὑπὲρ ἧς καὶ τμῆσιν, ὑπήνεγκας αὐχένος.

*Θεοτοκίον.*

Ῥήσεων τῶν προφητῶν Παρθένε, καὶ τύπος τῶν σκιωδῶν, ἐπώφθης πλήρωμα· σὺ γὰρ τὸν ἀνοίξαντα, προφητῶν τὰ στόματα, σωματικῶς ἐγέννησας, λαλῆσαι ῥήματα, πανάῤῥητα Ὧ ψάλλομεν πόθῳ· Σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Ἴσος ἀθλητῇ, Μηνᾷ θείῳ γέγονας καὶ τούτου χάριτος, θαυμαστὲ ἰσότιμος, ὡς καὶ στεφάνων, καὶ δόξης πάνσοφε· διόπερ τὴν σὴν ἄθλησιν, λαμπρῶς Ἑρμόγενες, ἀνυμνοῦμεν, σὺν αὐτῇ γηθόμενοι, τοῦ Μηνᾶ μεθ' οὗ χαίρῃ ἀείποτε.

Ὄμβροις ἱεροῖς, αἱμάτων σου ἤρδευσας, τὴν Ἀλεξάνδρειαν, θαυμαστὲ Ἑρμόγενες, βλαστὲ Ἀτθίδος, κλεινῆς πανεύφημε, τὴν ἄγουσαν τὴν μνήμην σου, τὴν ἀεισέβαστον, καὶ βοῶσαν· χαῖρε ἱερόαθλε, ἀθλητῶν ἐπισκόπων καλλώπισμα.

Ὕψωσον τὸν νοῦν, πρὸς θείαν λαμπρότητα, τὴν ἐν τοῖς δώμασιν, οὐρανῶν Ἑρμόγενες, τοὺς εὐφημοῦντας, τὴν σὴν ἐνάθλησιν, καὶ ἐκτελοῦντας μνήμην σου, τὴν ἀεισέβαστον, καλλιμάρτυς, Ἱεράρχα πίστεως, τοῦ Σωτῆρος εὐῶδες ὀσφράδιον.

*Θεοτοκίον.*

Χαῖρε τοῦ Θεοῦ, παλάτιον ἔμψυχον, καὶ χρυσοπόρφυρε, κλίνη Μητροπάρθενε, ἀναβοῶντες, παρακαλοῦμέν σε· ἱλέωσαι τὸν Τόκον σου, τοῖς

μεγαλύνουσι, σὲ ἀπαύστως, καὶ λαμπρῶς δοξάζουσιν, Ἑρμογένην σταδίου τὸν πρώταθλον.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Πανευκλεὲς Ἑρμόγενες, ἱερομάρτυς ἄριστε, Καλλικελάδου τῶν ἄθλων, ὁ ζηλωτὴς καὶ σταδίου, ὁ ἀριστεὺς ἠγώνισαι, μαρτυρικῶς καὶ Κύριον, δοξάσας τῇ ἐνστάσει σου, ἀξίως εἴληφας στέφος, μακαριότητος θείας.

*Θεοτοκίον.*

Οὐσιωθέντα Κύριον, ἐκ τῶν ἁγνῶν αἱμάτων σου, ὑπερφυῶς Θεοτόκε, ἀδιαλείπτως δυσώπει, οὐσίαν τὴν μερόπειον, ἡμῶν θεῶσαι Δέσποινα, καὶ ἀξιῶσαι ἅπαντας, σὲ μεγαλύνοντας πόθῳ, τῆς οὐρανῶν Βασιλείας.

*Εἰς τοὺς Αἴνους. Ἦχος α΄. Πανεύφημοι μάρτυρες.*

Ἀγλάϊσμα μέγα Ἀθηνῶν, ἀθλητὰ Ἑρμόγενες, τῆς Ἐκκλησίας ἑδραίωμα, ἐδείχθης ἄσειστον, καὶ κρηπὶς ἀνδρείας, ἀῤῥαγὴς καλλίνικε· διόπερ τὴν σὴν μνήμην νῦν μέλποντες, τὸν σὲ ἰσχύσαντα, ἐν σταδίῳ μεγαλύνομεν, στεφοδότην, Θεόν τε καὶ Κύριον.

Θαυμάζων τὴν ἄθλησιν Μηνᾶ, καὶ τὴν θείαν ἔνστασιν, αὐτοῦ ἀπάτην κατέλιπες, στεῤῥὲ Ἑρμόγενες, τῶν εἰδώλων τάχος, καὶ κηρύξας Κύριον, πολλῇ ἐν παῤῥησίᾳ ὑπέμεινας, βασάνους ἄριστα, ὥσπερ ἀλλοῦ Μάρτυς πάσχοντος, καὶ αὐχένα, ἐτμήθης τὸν πάνσεπτον.

Πανήγυριν σήμερον λαμπράν, σῆς στεῤῥᾶς ἀθλήσεως, ἐπιτελοῦντες Ἑρμόγενες, πιστῶς βοῶμέν σοι· τῆς Ἀλεξανδρείας, φάρε τηλαυγέστατε, ἀνδρείᾳ καὶ ψυχῆς γενναιότητι, Χριστὸν ἐδόξασας, ἀπτοήτῳ σου φρονήματι καὶ ἀγῶσι, λαμπροῦ μαρτυρίου σου.

Ἑρμόγενες πίστεως Χριστοῦ, βάθρον ἀδιάσειστον, Καλλικελάδου ὁμόζηλε, Μηνᾶ καὶ σύναθλε, εὐσθενοῦς Εὐγράφου, ἀσιγήτως πρέσβευε, Χριστῷ τῷ σὲ πλουσίως δοξάσαντι, θαυμάτων χάρισι, καταπέμψαι τοῖς ἱκέταις σου, ἄμφω ῥῶσιν, ψυχῆς τε καὶ σώματος.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὁ τοῦ μάρτυρος Μηνᾶ τοῦ Καλλικελάδου τὸν ζῆλον κτησάμενος, καὶ πρὸς τὸ στάδιον τῆς ἀθλήσεως ἀνδρειοφρόνως χωρήσας, Χριστὸν φωνῇ μεγάλῃ ὁμολογήσας, καὶ τῆς ἀπάτης τὸ ψεῦδος ἤλεγξας Ἑρμόγενες· ὅθεν, ἀθλήσας καρτερώτατα, ἐν Ἀλεξανδρείᾳ ἀφθαρσίας ἐδέξω τὸν στέφανον, καὶ χάριν πρεσβεύειν ἀπαύστως, ὑπὲρ τῶν τιμώντων τὴν πάμφωτον μνήμην σου.

*Καὶ νῦν. Προεόρτιον.*

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν· ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε τῷ ἑαυτῆς μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

## *Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις γόνε πάνσοφε Ἀθηνῶν, ἐν Ἀλεξανδρείᾳ, ὁ ἀθλήσας διὰ Χριστόν, χαίροις ἀριστέων, σταδίου κοσμιότης, Ἑρμόγενες γενναῖε, πίστεως πρόβολε.

